## ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ

# ΑΛΦΑΒΗΤΑΛΦΑΒΗΤΟΣ

## ΟΣΙΟΥ ΜΕΛΕΤΙΟΥ ΓΑΛΗΣΙΩΤΟΥ

Ἐπιλογὲς Ἀλυπίου Μοναχοῦ

# ΥΜΝΟΣ ΕΙΣ ΤΗΝ ΚΥΡΙΑΝ ΘΕΟΤΟΚΟΝ ΠΛΑΤΥΤΕΡΑΝ ΤΩΝ ΟΥΡΑΝΩΝ

Τὴν πλατυτέραν οὐρανῶν τὴν ὄντως ὑπὲρ λόγων
δι᾽ ἧς Θεὸς ἀνέλαβε τὴν βρότειον οὐσίαν
καὶ τοὺς πτωχοὺς ἐχόρτασε ἄρτον θεογνωσίας
δι᾽ ἧς ὁσίους εἰς ἀεὶ τοὺς τῆς ψυχῆς τηροῦντας
τῆς διαθήκης τῆς καινῆς τὰς ἐντολὰς τὰς θείας
ἀγαλλιάσει τῆς καλῆς ἐπλήρωσεν ἐλπίδας
δι᾽ ἧς Δαυῒδ ἀνέτειλε κέρας ἀλήκτου δόξης
δι᾽ ἧς ἡτοίμασε Θεὸς φωτίζων τοὺς ἐν σκότει
δι᾽ ἧς ἡ τοῦ Μελχισεδὲκ συνετηρήθη τάξις...
δι᾽ ἧς ὁ θάνατος θανῶν μετὰ τῆς ἁμαρτίας
καὶ τῶν αὐτῆς ἐφευρετῶν πεπτώκασι εἰς τέλος
δι᾽ ἧς ἅπασα ἐχθρικὴ λέλυται δυναστεία
δι᾽ ἧς κατῆλθεν ἐφ᾽ ἡμᾶς ὡς ὑετὸς ἐν πόκῳ
ὥσπερ σταγὼν ἐπὶ τῆς γῆς ὁ Κτίστης καὶ Δεσπότης
δι᾽ ἧς πᾶσιν ἀνέτειλε δικαιοσύνης φάος
εἰρήνη τε παναληθής, πραότης σὺν ἀγάπῃ
δι᾽ ἧς εἰς γῆν κατήχθησαν ἀεροπόροι πάντες
δαίμονες καὶ τὴν ἄβυσσον ἔλαβον κληρουχίαν
δι᾽ ἧς ἡ σύμπασα κτιστὴ καὶ χαμερπὴς οὐσία
ὑπεραρρήτου θεϊκῆς κατακληρώθη δόξης
δι᾽ ἧς γεγένηται Θεὸς ὡραῖος ἐν τῷ κάλλει
τῆς ὑπὲρ νοῦν θεότητος ὑπὲρ υἱοὺς αἰώνων
ὑπεραπείρου ὑπὲρ νοῦν καὶ κρεῖττον ἀσυγκρίτως
δι᾽ ἧς ἡ ῥάβδος ἡ στερρὰ καὶ πᾶν εὐθεία
τῆς θείας καὶ βασιλικῆς χειρός, τὴν τῶν διαμόνων
σκολιωτάτην παντελῶς συνέτριψε κακίαν
δι᾽ ἧς ἡ σάρξ ὡς βασιλὶς ἐκ δεξιῶν παρέστη
δι᾽ ἧς καὶ ἐπελήσθησαν τὰ φύλλα τῶν Ἑβραίων
ὧν ἀντεισήχθημεν ἡμεῖς τῇ πίστει προσελθόντες
καὶ θυγατέρα τοῦ Θεοῦ καὶ νύμφην καὶ Μητέρα
ἐπέραστον τῷ Βασιλεῖ τῆς κτίσεως ἁπάσης
ἀνακηρύττομεν ἀεὶ χείλεσι καὶ καρδίᾳ
διὰ τὸ κάλλος τῆς ψυχῆς τὸν λόγον ὑπερβαῖνον

... ἀκαταλήπτων δωρεῶν ἐνθέων χαρισμάτων
ὥσπερ αὐτὸς ἐντὸς αὐτῆς κοιλία τῆς ἀχράντου
τῆς Πλατυτέρας οὐρανῶν καὶ Χερουβεὶμ καὶ Θρόνου
ἁγιωτέρα, ὁλικῶς, ὁ κτίστης ἐχωρήθη
δι᾽ ἧς ὁρμήματα τερπνὰ τῶν πνεύματος ναμάτων
ὡς ποταμοὶ ζωήρρυτοι τὴν ἀνθρωπείαν φύσιν
ηὔφραναν καὶ κατήρδευσαν ἐκ μυστικῆς ἀρδείας
δι᾽ ἧς ὁ σύμπας ἄνθρωπος ἐν πᾶσιν ἡγιάσθη
ἧς μέσον εἰσελήλυθεν ὁ Λόγος ἀνεκφράστως (τ.σ. 1)
μὴ φλέξας ὅλως οὐδαμῶς τοῦ σώματος τὸν χόρτον
λαβὼν δὲ πᾶσαν ἐξ αὐτῆς τὴν ἀνθρωπείαν φύσιν
καὶ μείνας ὅλος ὥσπερ ἦν Θεὸς ἀναλλοιώτως
καὶ Παρθενίας οὐδαμοῦ τὰ κλεῖθρα διαλύσας
παράπαν ἐν τῷ διελθεῖν ὢ ξένων τεραστίων!
ναὶ καὶ νικώντων ἔννοιαν καὶ γνῶσιν τῶν ἀγγέλων!
δι᾽ ἧς ὁ πλάστης μεθ᾽ ἡμῶν ὁ Βασιλεὺς τῆς Δόξης
ὁ τῶν ἀγγέλων Κύριος καὶ Κτίστης τῶν αἰώνων
δι᾽ ἧς ὡς ὄντως μεθ᾽ ἡμῶν καὶ νῦν καὶ μέχρι τέλους
ὁ Παντοκράτωρ καὶ Θεὸς ἀρρήτου συναφεία
ᾗ πρέπει κράτος αἶνεσις προσκύνησις καὶ δόξα
μεγαλοσύνη καὶ τιμὴ μέχρι παντὸς αἰῶνος
δι᾽ ἧς μοι καὶ τὴν τῶν εὐχῶν αἴτησιν ἐκπληρώσει
βραβεύων πᾶσιν ἄνωθεν θεόθεν ὡς ηὐξάμην
Χάριν, σοφίαν, σύνεσιν, εἰρήνην, ρώμην, ρῶσιν
καὶ καθεξῆς ὡς εἴρηται καὶ σὺ σαφῶς ἀνέγνως
μετ᾽ εὐχερείας ὁδηγῶν ὡς ἐλεήμων πάντως
πρὸς τὴν ἐκεῖ κατάπαυσιν τῶν ὑπὲρ νοῦν καὶ λόγον
καὶ μετοχὴν τῶν ἀγαθῶν ὧνπερ τυχεῖν θαρροῦμεν
καὶ τῆς λαμπρᾶς καταξιῶν καὶ θαυμασίας δόξης
εἰς τοὺς αἰῶνας ἅπαντας σὺν πᾶσιν τῆς ἁγίοις
ἀμὴν γένοιτο, γένοιτο, ναὶ ταῦτα γένοιτό σοι
σὺν πᾶσι τοῖς ἀπὸ ψυχῆς διεξιοῦσι ταῦτην
κατὰ Θεὸν μετὰ Θεοῦ εἰς δόξαν τῆς Τριάδος
ἐξ αἰσθητῶν καὶ νοητῶν ἐκ πάντων τῶν κτισμάτων.

# ΠΩΣ ΔΕΙ ΤΟΝ ΑΝΘΡΩΠΟΝ ΛΑΒΕΙΝ ΨΥΧΗΣ ΤΗΝ ΣΩΤΗΡΙΑΝ ΚΑΙ ΚΑΤΑ ΔΥΝΑΜΙΝ ΘΕΩ ΣΥΝΤΟΜΩΣ ΕΝΩΘΗΝΑΙ

Οὐ γὰρ κρινεῖ Θεὸς ἡμᾶς ὡς ἐπταικότας,
ἀλλὰ κρινεῖ κολαστικῶς εἰ μὴ μετανοοῦμεν
Τὸ προνοεῖσθαι μὴ πεσεῖν βέλτιον μετανοίας
μὴ πίπτε πρὸς ἁμάρτημα μετανοεῖν ἐλπίζων
πότε γὰρ ἐπιστήσεται τὸ τέλος οὐ γινώσκεις·
ἂν δ᾽ ὑπὲρ πάντας ἥμαρτες μετανοήσας σώζῃ.
Ἐξομολόγησις γεννᾶ τὴν συντιβὴν εὐθέως
ἡ συντριβὴ δὲ τὴν καλὴν κατάνυξιν ὠδίνει
ἐκ δὲ τῆς κατανύξεως προέρχεται τὸ πένθος,
αἰδῶς δὲ τούτοις ἡ καλὴ καὶ συστολὴ γεννᾶται.
Κλαύσατε κλαύσατε φησὶ τὸ σμῆνος τῶν Πατέρων
ὁδὸς οὐχ ὑπολέλειπται τοῖς σωζομένοις ἄλλη
ἐν ὅσῳ ζῇς τὴν κάθαρσιν ἐν πᾶσι πραγματεύον,
καὶ λήψει τὴν λαμπρότητα τῆς ἄνω Βασιλείας.- (τ.σ.3(6)).
Ἀντάξιον μιᾶς ψυχῆς ὅλον τὸν κόσμον τοῦτον...
οὐ μόνον τούτου τοῦ φθαρτοῦ καὶ λήγοντος ταχέως,
ἀλλὰ κἀκείνου τοῦ σεπτοῦ, καὶ νοῦν ὑπερνικῶντος
ὡς εἰς αὐτῆς κατάπαυσιν προκατασκευασθέντος
τοῦ βιωτεύειν ἐν αὐτῷ σὺν τάγμασι ἀΰλοις
τρυφὴν τρυφῶσαν νοερὰν ὑπὲρ αὐτοὺς ἀγγέλους
τούτων ὁ μέν, ἆθλος ψυχῆς καὶ δοκιμὴ τυγχάνει
ὁ δ᾽ ἔπαθλον, ἀπόκειται σὺν ἀμειβῇ καὶ δόξῃ
καὶ βλέπε, τήρει πρόσεχε καὶ σκόπει πῶς ἀκούεις,
μήπως ἀποδοκιμασθῇς ἀπὸ τοῦ πλάνου τούτου
καὶ στερηθεὶς τῶν ἀγαθῶν τῶν ὑπὲρ νοῦν ἐκείνων.
Ὅρα λοιπὸν ὡς νοουνεχὴς ὡς συνετὸς ἀκρίβου,
τὰ πράγματα τὰ στρέμματα τοῦ βίου τοῦ ματαίου,
καὶ κοσμικοὺς εἰρήκασι τοὺς ἡττωμένους τούτοις
Ὁ δὲ ἡττηθεὶς δεδούλωται κατὰ τὸν θεῖον Παῦλον,
καὶ λέλυται τῆς πρὸς Θεὸν εὐλόγου δουλοσύνης·
οὐδεὶς γὰρ δύναται δυσὶν ὑπηρετεῖν Κυρίοις

ὁ γὰρ τὸν κόσμον ἀγαπῶν Θεοῦ πατρὸς ἀγάπην
ὅλως οὐκ ἔσχεν ἐν αὐτῷ, τὸ δ᾿ ἐναντίον δῆλον,
εἷς τὶς ἐστὶ γὰρ ἐκ Θεοῦ πατρὸς ἀγάπην
ὅλως οὐκ ἔσχεν ἐν αὐτῷ, τὸ δ᾿ ἐναντίον δῆλον,
εἴ τις ἐστὶ γὰρ ἐκ Θεοῦ, λόγων Αὐτοῦ ἀκούει
καὶ τῶν ἀρρήτων ἀγαθῶν ἐσεῖται κληρονόμος.
Ἀδύνατον ἀμήχανον ἄνθρωπον ἐν τῷ κόσμῳ,
συνδεδεμένον ὁλικῶς καὶ πᾶσι τοῖς τοῦ βίου,
ἔχειν ἰσχὺν κατανοεῖν τὴν πλάνην τὴν τοῦ βίου.
ἄλλος μισεῖται δι᾿ ἀρχήν, ἄλλος πρὸς ταύτην τρέχειν,
ὁ κράτωρ ἐνευδρεύεται, πένης καταφρονεῖται,
καὶ συνεχεῖς οἱ πόλεμοι σὺν φόνοις ἐπαλλήλοις·
Ἡ τύραννος, ἐνίκησε πολλάκις ἀπληστία,
τὸ ψεῦδος ὑπερέβαλεν ἐνίκησεν ὁ δόλος.
Ἡ πρὸς ἀλλήλους ἔφυγεν ἀγάπη καὶ φιλία...
Ἡ γῆ λοιπὸν τὰ νῦν κακὰ βαστάζειν οὐκ ἰσχύει
πικρὸς ὁ βίος τῶν βροτῶν δεινὸς ἀπάτης πλήρης
... ἀνάνευσον, γρηγόρησον, ἔγειρε τί καθεύδεις ;
ἐκ γῆς ὑπερκόσμια, πρὸς φῶς ἀπὸ τοῦ σκότους
ἀπὸ θανάτου πρὸς ζωὴν τὴν ὑπὲρ νοῦν καὶ θείαν
ἀντὶ τῆς γῆς ἐν οὐρανοῖς, ἀνθ᾿ ὅλοις ἐν ἀΰλοις,
καὶ συμβασίλευε Χριστῷ μέχρι παντὸς αἰῶνος
ᾧ πρέπει δόξα καὶ τιμή, προσκύνησις καὶ κράτος·
Ἀπάθειαν ἀντὶ παθῶν καὶ λύπην ἀντὶ λύπης...
καὶ λάμπων ὑπὲρ ἥλιον θέσει θεὸς ὑπάρχων,
ἄτρεπτος, ἀναλλοίωτος ἀμέτρους εἰς αἰῶνας (τ.σ.2 (7))

λοιπὸν ἀνάστα τάχιον, ἔγειρον τί καθεύδεις;
δεῦρο συνακολούθησον ἑπόμενος ἐν πᾶσι
τῷ σὲ καλοῦντι Βασιλεῖ Κυρίῳ καὶ Δεσπότη
ἀνεπιστρόφῳ λογισμῷ καθῶς αὐτὸς εἰρήκει:
εἴ τις οὐκ ἀποτάσεται πᾶσι τοῖς ἐν τῷ κόσμῳ
καὶ τὴν ψυχὴν τὴν ἑαυτοῦ, πῶς ἔσται μαθητής Μου;
οὐκ ἦλθον γὰρ βαλεῖν φησιν εἰρήνη ἐν τῷ κόσμῳ
μάχην δ᾿ ὁμοῦ καὶ μάχαιραν ἐξ ὑλικῶν ἀΰλους.
Ἥκω διχάσαι ἐν τῇ γῇ καὶ λύσων ἀπ᾿ ἀλλήλων

εἰς τὸ δουλεύειν Θεῷ σὺν τοῖς ἀγγέλοις
καὶ τῶν ἡτοιμασμένων μοι κατατρυφᾶν ἀλήκτως.
Ἡμῶν γὰρ τὸ πολίτευμα φησιν ὁ θεῖος Παῦλος,
ἐν οὐρανοῖς ἔνθα Χριστὸς ὑπάρχει μετ᾽ ἀγγέλων
ἐν οἷς καὶ πολιτεύονται τὰ πλήθη τῶν ἁγίων...

Σχέσις ἰδίως τὴν τοῦ Λὼτ ἐστήλωσεν γυναῖκα
σχέσις κτημάτων ἔκτεινε κακῶς τὴν Ἰεζάβελ·
σχέσις βρωμάτων τῶν Ἠσαῦ στερεῖ πρωτοτοκίων
σχέσις θελήματος λαὸν ἔστρωσεν ἐν ἐρήμῳ
σχέσις χρημάτων ἐκτελεῖ προδότην τὸν Ἰούδαν...

...Βαβαὶ πῶς πολυρρημονῶν τὸν χρόνον ἀναλίσκω...
λοιπὸν συντόνως βάδιζε τὴν ζωηφόρον τρίβον
καθολικῶς ξενίτευε κόσμῳ καὶ τοῖς ἐν κόσμῳ
τοῦ ξένον ὡς παράδοξον νόει παμφίλτατέ μοι
οὐ γὰρ κατῆλθεν ὡς Θεὸς πρὸς τὴν ἰδίαν κτίσιν,
ἀλλ᾽ ἀλλοτρίως, ὡς βροτὸς ξένως, καὶ παραδόξως,
ἵνα τοὺς ξένους τῆς αὐτοῦ Χάριτος συναγάγῃ
καὶ παραδόξως ἅπαντας θέσει θεοὺς ποιήσῃ·
τῶν ὑλικῶν καὶ γεηρῶν ξένους ἀποτελέσας
καὶ πρὸς τὰ ξένα φίλτατε ξενίσῃ σε τὸν ξένον.
Βλέπε ἁγίους ἅπαντας ὧδε παροίκους ὄντας,
ξένους παρεπιδήμους τε κόσμῳ καὶ τοῖς ἐν κόσμῳ.
Ἡ ξενιτεία φίλτατε πάντως οὐκ ἐστιν ἄλλο,
ἀλλ᾽ ἐν αἰσθήσει θάνατος ἀπὸ παντὸς ἀνθρώπου
καὶ τῆς μερίμνης τῶν ἐν γῇ πάντων ἀναισθησία
ξένος ἐκεῖνος πέφυκεν, οὗ ξένα τὰ τοῦ κόσμου,
ξένος ὁ πάντων ξενωθεὶς καὶ συναφθεὶς τῷ Κτίστῃ
ξένος ἐστιν ὁ κατὰ νοῦν ἔξω τῶν ὄντων φθάσας
καὶ τοῖς ἐκεῖθεν ὑπὲρ νοῦν ἀΰλως συνημμένοις.
Οὐκ ἔστι χεῖρον ἕτερον, οὐ πέφυκεν οὐκ ἔστι,
τῆς μοχθηρᾶς καὶ βδελυρᾶς φεῦ φιλοχρηματίας,
ὕλης παθῶν ἐπαγωγὸς ἡ φιλοχρηματία·
ὁ δὲ ἐκ τῆς περιττότητος πάσχων καὶ δίχα βίας,
ὁ δὲ τὸν πόθον ἐσχηκὼς καὶ τῶν οὐκ ἀναγκαίων (τ.σ.4(8))

πῶς οὗτος ὅλος ἐκ Θεοῦ συγγνώμης ἐπιτύχῃ;
Σημεῖον μετανοίας δὲ τῆς μεμεριμνημένης
πάντων δεινῶν καὶ πειρασμῶν καὶ νόσων καὶ κινδύνων
ἐννόει τῶν ἐξ αἰσθητῶν αἰτίων συμβαινόντων,
ἀξίους κρίνειν ἑαυτοὺς ἢ τι καὶ πλέον τούτων.
Ἴσθι δὲ πάνυ τοι καλῶς καὶ τοῦτο μου τὸ ρῆμα
ἂν ἀληθῶς μετανοῇς ἐκ πάντων χλευασθήσῃ
τῶν καθ᾽ ἡμᾶς τῆς γενεᾶς τῆς οὔσης ἀναισχύντου
καὶ τοῦτο σοι τεκμήριον, τῆς ὄντως μετανοίας
καὶ βασιλείας πρόξενον τῆς ὑπὲρ νοῦν καὶ λόγον.
Τὴν γλῶτταν πάνυ τοι καλῶς ἐν προσοχῇ συντήρει,
θάνατον ὄντως καὶ ζωὴν ἡ γλώττα σου κατέχει
ὀλίγα λάλει συνετῶς καὶ θᾶττον πάλιν σίγα,
μηδὲν λαλήσῃς ὃ καλῶς οὐκ ἔφθασας εἰδέναι,
μηδὲν διδάξῃς πρὸς τινας, ὃ πρῶτος οὐκ εἰργάσω,
μηδέ γαρ εἴπῃς ὡς ἰδὼν ἃ λόγοις ἀκροάσω·
λόγον ἀργὸν ἢ κοσμικὸν μὴ φθέγξῃ τὸ παράπαν
ἂν δὲ λαλήσειν ζητηθῇς λάλησον τὰ τῆς χρείας.
Ὅπερ μὴ λέγειν ἀγαπᾶς, μηδὲ λαλήσῃς ὅλως,
μὴ παραδέξῃ φίλτατε τὸν μάταια φιλοῦντα
οὕτω γὰρ ἄμφω σώσειας καὶ σὲ καὶ τὸν λαλοῦντα·
ἀργολογίας, γέλωτας, ἀστεϊσμοὺς καὶ βλέψεις
τῶν μετεώρων ὀφθαλμῶν παράπαν ἀποστρέφου·
τήρει σου γοῦν σὺν τοῖς ὠσὶν τοὺς ὀφθαλμοὺς ἐν πᾶσι,
ἔστι μοιχεύειν ὀφθαλμοῖς καὶ λόγοις ἐκπορνεύειν
καὶ τὴν καρδίαν ὁλικῶς ἐκ τούτων μιανθῆναι.
Σὺ δὲ μοι πρόσχες νουνεχῶς καὶ βλέπε πῶς ἀκούεις,
ὦτα καὶ γλῶτταν ὀφθαλμούς, χεῖρας ὁμοῦ καὶ πόδας
σπεῦσον ἀεὶ παιδαγωγεῖν εὐθύνων κατὰ πνεῦμα·
ἔστω σοι τοίνυν ἅπαντα πρόθεσις, σχῆμα βλέμμα
καὶ λόγος πᾶς καὶ κίνημα, σὺν ἀκοῇ πᾶν ἔργον,
ὕπνος, καθέδρα, βάδισις, ἐνθέως εἰργασμένα,
καὶ φωτισθῇς καὶ σοφισθῇς καὶ λάβῃς θείαν Χάριν.
Ἕως σοι γλῶσσα προπετής, μακρὰν Θεοῦ τυγχάνεις
ἐνάρετον ἢ πονηρὸν βίον καὶ πολιτείαν,
ποιεῖ μακρὰ συνήθεια καθὼς αὐτὸς ἀκούεις

τῆς συνηθείας εἴωθεν ἕξις ἀπογεννᾶσθαι
ἐξ ἧς τὸ πρᾶγμα δέχεται κατάστασιν εἰς φύσιν
εἰς ἅπαντα συνέχειαν ἀδολεσχία τίκτει
αὐτὴ δὲ καταλήξασα πρὸς αἴσθησιν πρὸς ἕξιν
νόμος καὶ φύσις γέγονε, ὡς ἔγνωμεν ἐκ πείρας.
ῥύσεται Κύριος ἡμᾶς κακῆς ἐκ συνηθείας.- (τ.σ.5(9))

Ὁ γὰρ Θεὸς τὴν πρόθεσιν καὶ γνῶμην ἐξετάζει
καὶ πρὸς τοὺς βίους δέχεται τὰ δῶρα τῶν διδόντων
οὐ μόνον πρὸς τοὺς ζῶντας δὲ τὰ τῆς ἱερουργίας
καθαρτικά, φωτιστικά, φρουρητικὰ τυγχάνει
ἀλλὰ καὶ πρὸς τοὺς θνήσκοντας καὶ τοὺς μεθισταμένους
ὡς τῶν πταισμάτων ἄφεσιν παρέχοντα καὶ λύσιν
ὁ μὲν τῷ κόσμῳ νεκρωθεὶς θάνατον μνημονεύσει
ὁ δὲ περὶ τι τῶν φθαρτῶν σχέσιν ἐκτρέφει ἔτι
πέφυκεν αὐτεπίβουλος παντάπασι πλανᾶται,
θνητὸς ὑπάρχων φίλτατε μέμνησο τοῦ θανάτου
φρόνει καὶ λέγε ταπεινὰ δόξης ἐρῶν τῆς ἄνω
καὶ πρὸς θανάτου ἔλευσιν γενναίως ἑτοιμάζου.
Ψυχῇ ποθούσῃ σώζεσθαι τὸ κλαίειν ἀναγκαῖον,
πάντες δὲ δίκας δώσομεν εἰ μὴ καλῶς πενθοῦμεν
εἴ τις οὐ κλαίει τὴν ψυχὴν ἀπόλλυσι τῇ πείνῃ
καὶ φθείρει ταύτην τῷ λιμῷ τρέφεται γὰρ τῷ πένθει
πένθος εἴ κτήσῃ ψυχικὸν τόπῳ παντὶ πενθήσεις
...τοῦτο καὶ πάθη θανατοῖ καὶ μολυσμοὺς ἐκπλύνει,
καὶ πάντα τὰ πνευματικὰ ζωογονεῖ καὶ τρέφει
καὶ τὴν ψυχὴν ἀπὸ τῆς γῆς πρὸς οὐρανὸν ἀνάγει. - (τ.σ.6(10))

Θεὸν ὀφείλεις μὲν ποθεῖν καὶ στέργειν τὸν πλησίον
ἀγάπα τὸν Θεὸν φησὶν ἐξ ὅλης τῆς καρδίας
καὶ πάλιν ὥσπερ ἑαυτὸν καὶ τὸν πλησίον φίλει·
ὁ δὲ Χριστὸς ἐκ τῶν πιστῶν τῆς εἰς αὐτὸν ἀγάπης
τὸ τὸν πλησίον ἀγαπᾶ ὁρίζετε σημεῖον.
Ἡ μὲν ἀγάπη τοῦ Θεοῦ κακὴν ἐπιθυμίαν,
καὶ τὴν πληθὺν τῶν ἡδονῶν ἡμῶν ἐξοστρακίζει
ὁπόταν δύνῃ σπούδασον πάντας φιλεῖν ἀνθρώπους

εἰ τοῦτο δὲ μὴ δυνηθῆς, κἂν καὶ τὸ μῖσος φεῦγε
καὶ μηδεμίαν μηδαμῶς πρὸς τινας ἔχθραν κτήσῃ.
Ὁ δόξης μὴ καταφρονῶν, μὴ φέρων ἀτιμίαν,
πλοῦτον, πενίαν, ἡδονὴν περιορῶν καὶ λύπην
ἀνίσχυρος φανήσεται κτήσασθαι τὴν ἀγάπην.
Ὢ πῶς ὡραῖα πέφυκεν ἀγάπη τοῦ πλησίον,
εἰ μὴ συλλήσῃ μέριμνα ταύτην ἀγάπης ἄλλης
τῆς πρὸς Θεὸν καὶ τὰ Θεοῦ κατὰ τὸ γεγραμμένον.
Ἴσθι γὰρ ὁ κτησάμενος τὴν πρὸς Θεὸν ἀγάπην,
καὶ μετὰ ταύτης συντηρῶν καὶ τὴν πρὸς τοὺς ἀνθρώπους
πᾶσαν γραφὴν τετέλεκε, καὶ νόμους καὶ προφήτας
καὶ τὸν Θεὸν ἐνδέδυται καὶ παρ᾽αὐτοῦ φρουρεῖται.
Ἅπας ἀνὴρ ὁ τὸν Θεὸν ποθῶν ἀπὸ καρδίας,
βίον ἰσάγγελον πλουτεῖ, κἂν ἐπὶ γῆς βαδίζει
νηστεύων, ψάλλων, ἀγρυπνῶν, σωφρόνως παρθενεύων·
ἅγιοι σὲ πειθέτωσαν οἱ ταῦτα πεπραγότες.
Ἶσον τὸ πράττειν τὰ κακὰ τῷ μὴ φαυλίζειν ταῦτα
ἶσον ὁ φθόνος τῇ δεινῇ μνησικακία πάθος
ἢ μᾶλλον ὥσπερ λέγουσι κατὰ πολὺ καὶ χεῖρον.
Μνησικακεῖν καὶ τὸ φθονεῖν ὁ δαίμων εἰσηγεῖται.
Μνήμη παθῶν δεσποτικῶν, μνήμη τῶν τούτου νόμου
μνησικακίας λύτρωσις καὶ μίσους καὶ τοῦ φθόνου.
Ὢ φθόνε πάντων κάκιστον φρούριον ἀπωλείας
ὢ ψυχοφθόρον νόσημα θανατηφόρε πόα.
Ὥσπερ Θεὸς οὖν βούλεται σώζειν δι᾽ ἄλλου ἄλλον
οὕτω φασὶ τὸν σατανᾶν ἑτέρους δι᾽ ἑτέρων
θηρεύειν πρὸς ἀπώλειαν οἷς ἂν ἰσχύσῃ τρόποις·
εἴ μὴ κακίαν καὶ θυμὸν φθόνον καὶ πονηρίαν
μακρὰν ἀπορραπίσειας καὶ πόρρω που διώξεις
καὶ νηπιάσῃ παιδικῶς κακίας ἀπορίᾳ
ἀδύνατον πλουτίσει σε τὴν φρόνησιν τελείαν
εἰς ἄνδρα καταντῆσαι σε τῆς θείας ἡλικίας.
Καθὼς φανέντος τοῦ φωτὸς ὑποχωρεῖ τὸ σκότος
οὕτω φασιν ἐκ τῆς ὀσμῆς τῆς ταπεινοφροσύνης
πᾶσα πικρία καὶ θυμὸς ἀναχωρεῖ ταχέως.
Τὸν μὲν θυμὸν τῇ σιωπῇ λέγουσι χαλινοῦσθαι

τοῖς δὲ συμμέτροις βρώμασι δεινὴν ἐπιθυμίαν
καὶ λογισμὸν δυσκάθεκτον εὐχὴ μονολογίστῳ
(δηλ. τὸ Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με)
Εἰ γὰρ πάντες οἱ ἄνθρωποι λόγῳ κοινῷ καλοῦνται,
ἐκεῖνος μόνος ἄνθρωπος ὁ τὴν εἰκόνα σώζων
ὅστις οὐκ οἶδε τῷ θυμῷ κατὰ τὸ πέλας χρᾶσθαι.-

Σημεῖον δ᾽ ἐστιν ὡς ἑκών τις ἐνεργεῖ τὸν πάθος
ὅταν ἐλέγχηται καλῶς κακεῖνος θηριοῦται.
Θεὸς τῷ γένει τῶν βροτῶν κατὰ δαιμόνων μόνον
καὶ κατὰ πάντων τῶν παθῶν δέδωκε (τὸ) θυμοῦσθαι.- (τ.σ. (11)



# ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ

Πᾶς ὁ μὴ κατὰ δύναμιν τὴν ἐλεημοσύνην
τὴν εἰς τοὺς πένητας φιλῶν, καὶ τοὺς πλησίον στέργων
ἐκπίπτει πάντως τοῦ Θεοῦ καὶ πόρρω τούτου μένει·
Θεῷ γὰρ δίδως ἀληθῶς τοῖς πένησι παρέχων,
τῷ σαρκωθέντι δι᾽ ἡμᾶς παθόντι, καὶ ταφέντι
ὡς ἂν θανάτου καὶ παθῶν λυτρώσηται καὶ σώσῃ
καὶ πρὸς αἰώνιον ζωὴν ἡμᾶς ἀναβιβάσῃ,
θέλεις εὑρεῖν τὸν ἔλεον; πάντας μηδένα λέγε·
ἐπιποθεῖς τὸν ἔπαινον; μηδένα καθυβρίσῃς
παθεῖν οὐ θέλεις ἄδικον, μηδένα ἀδικήσῃς.
Δύο λεπτοῖς ἠγόρασε χήρα τὴν βασιλείαν,
οὐχ ἡ πληθὺς τῶν δωρεῶν, ἀλλ᾽ ὁ σκοπὸς σὲ σώζει
...κἂν ὕδωρ ἔχεις πρόσφερε Θεὸς προσδέχετέ σε
εὐφραίνον μὲν νὰ ἐλεῇς εἰδ᾽ οὐκ ἰσχύεις δοῦναι
εὐχάριστος ἐπὶ τῇ σῇ καθίστατο πτωχεία·
πέπεισμαι γὰρ κατὰ Θεὸν ὡς ἀσυγκρίτως κρεῖττον
εὐχαριστεῖν πτωχεύοντας, ἢ χορηγεῖν πλουτοῦντας.
Ποία καὶ τίς ἡ νοητὴ πέφυκεν εὐποιΐα
πάντας ἀεὶ κατὰ ψυχὴν ἀνελλιπῶς οἰκτίρειν,
ἔστι γὰρ ἔλεος ψυχῆς μεῖζον παντὸς ἐλέους
ὅσον ψυχὴ τοῦ σώματος ἐστι τιμιωτέρα.
Καὶ γὰρ οὐδὲν εὐάρεστον οὕτως ἐστι τῷ Κτίστῃ
ἢ τὸ ψυχὰς ἐκ μολυσμῶν παντοίων καθαρθείσας
τελείας πάντῃ καὶ λαμπρὰς ἀείποτε προσφέρειν.
Οὗτος ἐστιν ὡς ἀληθῶς ἐν πᾶσιν ἐλεήμων
οὐχ ὁ διδοὺς ἐκ περιττῶν, ἀλλ᾽ ὁ τῶν ἀναγαίων
φέρων στερρῶς τὴν ἁρπαγὴν καὶ χαίρων ἐπὶ ταύτῃ.
Ὡς ἐλεήθης ἐκ Θεοῦ σὺ τοὺς λοιποὺς ἐλέει·
Κάϊν κακῶς προσενεγκὼν δικαίως κατεκρίθη...
ἐν τέλει μακαρίσθητι μὴ Λάζαρον παρίδῃς
μὴ σε ποιήσῃ πλούσιον κατὰ τὸ γεγραμμένον
καθὼς ποιήσεις ἔσται σοι, τοῦτο Χριστὸς βοᾷ σοι·
ὡς ἂν μετρήσῃς μετρηθῇς, ὡς δώσῃς, οὕτω λάβῃς·
Μὴ ποίει πρὸς ἐπίδειξιν, καὶ πάντα κατορθώσεις.

Ὧν ἐκ Θεοῦ μετέσχηκας, ὧν κατὰ χάριν ἔχεις,
πᾶσιν ἀφθόνως χρεωστεῖς αὐτῶν μεταδιδόναι.
Ὁ τοὺς πτωχοὺς συμμεριστὰς καὶ κοινωνοὺς λαμβάνων
καὶ Τοῦ βρωτοῖς πτωχεύσαντος δεικνύμενος θεράπων,
ἔλεος εὗρεν ἔλεος, εἵλκυσε χάριν χάρις·
ἄκαρπον δένδρον πᾶς πιστὸς ἀνὴρ ἀνελεήμων
καὶ σύμπαν δένδρον ἄκαρπον τμηθὲν καταφλεχθείη.
Ἴσον ὑπάρχει τὸ μισεῖν, καὶ τὸ φιλεῖν ἀλόγως·
ὁ φίλος ὁ κατὰ Θεόν, γάλα καὶ μέλει ρέει.
Οἷς ἡ φιλία πρόξενος ὑπῆρξεν ἀπωλείας
τούτοις ἀρχὴ τῆς ἀρετῆς ὁ χωρισμὸς ἐφάνη.
Ὁ δυνηθεὶς καταλαβεῖν τὸ τῆς ἀγάπης πέρας
οὗτος Θεὸν κατέλαβεν τῶν ἀγαθῶν τὸ τέλος (τ.σ. (12))

Οὐκ ἔστι δῶρον ἀληθῶς ἕτερον τοῖς ἀνθρώποις
παρὰ Θεοῦ παμμέγιστον, πρόξενον σωτηρίας,
ὡς οἱ ποικίλοι πειρασμοὶ τοῖς ἀκριβῶς νοοῦσι·
χαῖρε γοῦν πειραζόμενος, εὐχαριστῶν Κυρίῳ,
λοιπὸν ἐν ταῖς ὑπομοναῖς τῶν χαλεπῶν εὐφραίνου,
ὑπομονὴν τῶν ἀρετῶν λέγουσι βασιλίδα
τρόπον δὲ μᾶλλον πρόσεχε διαφοράν, οὐ τόπον·
ἐν τῇ κοπρίᾳ μὲν Ἰὼβ, τὸν Δανιὴλ ἐν λάκκῳ
καὶ τὸν λῃστὴν ἐν τῷ σταυρῷ μανθάνων σωζομένους
ἐν ὄρεσι ἐν στενωποῖς ἐν τρίβοις ἐν πλατείαις,
οὕς πάντας ἐκμιμούμενος, κἄν ὅπου καὶ διάγῃς
στενῶς πυκνῶς διηνεκῶς πρὸς τὸν Θεὸν προσεύχου·
ἐγγὺς γὰρ Κύριος ἀεὶ τοῖς ἐπικαλουμένοις.
Πᾶσαν ψυχὴν τοῖς νυμφικοῖς ἔρωσι τετρωμένην
εὐχὴ συνάπτειν εἰς ἀεί, καὶ προσλαλεῖν Κυρίῳ,
ἴσους ποιεῖ τοὺς γηγενεῖς ἀγγέλους τοῖς ἀΰλοις.
Ἀγώνι προαιρέσεως τῆς πανευτελεστάτης
σὺν ἀντιλήψει τοῦ Θεοῦ, πᾶν ἀγαθὸν τελεῖται.
Ὅσπερ τις κατεργάζεται καὶ μελετᾷ καὶ λέγει,
κατὰ σκοπὸν οὐ θεϊκόν, ὅλως οὐδὲν κερδαίνει.
Κίνει γοῦν κίνει πάντοτε τὰ τῆς καρδίας χείλη
κρᾶζε κραυγὴν ἀσίγητον, ἀδιαλείπτως λέγε,

Υἱὲ Θεοῦ βοήθει μοι, Χριστέ μου φρούρησόν μοι
τοῦτο ποιῶν διηνεκῶς ἐκ τῆς ἀδολεσχίας,
κρατήσεις εἰς συνήθειαν, ἐξ ἧς εἰς ἕξιν φθάσεις
καὶ σχοίης ὥσπερ φυσικὸν ἀχώριστον τὸ πρᾶγμα,
εἰς φύσιν ἐκ τῆς ἕξεως μεταπεποιημένον.
Ἔκτοτε δὲ παμφίλτατε, καθεύδων, ἀφυπνώττων,
ἐσθίων ἐργαζόμενος, ἅπερ ἂν βούλῃ πράττων,
γρήγορσιν ἔχεις τὴν ἐντὸς καὶ νήφεις τῇ καρδίᾳ.
Τὸν Ἰησοῦν ἀγάπησον ἐξ ὅλης τῆς ἰσχύος,
τούτον ποιοῦ προλαλιάν, τοῦτον ἀεὶ φαντάζου
ὁμίλει τούτῳ κατὰ νοῦν, ἔχει μελέτην τοῦτον.
Ὥσπερ πτωχοὶ τοὺς θησαυροὺς ὁρῶντες τῶν κρατούντων
μᾶλλον ἐπιγινώσκουσι πενία τὴν ἰδίαν,
οὕτω ψυχὴ τὰς θαυμαστὰς καὶ ξένας πολιτείας
πάντων ἀναγινώσκουσα τῶν ἀπ᾽ ἀρχῆς ἁγίων
γινώσκει τὴν ἀσθένειαν αὐτῆς καὶ ραθυμίαν
τὴν χαύνωσιν καὶ γύμνωσιν καὶ τὴν ταλαιπωρίαν
Ἐπίμεινον ἀνάγνωθι ζήτησον προσηκόντως
τοὺς βίους τὰ παλαίσματα, τοὺς ἄθλους τῶν ἁγίων
πᾶς γὰρ ὁ ταῦτα μελετῶν πᾶς ὁ δοξάζων ταῦτα
πρὸς πόθον τούτων ἕλκεται πρὸς μίμησιν κινεῖται
καὶ τῶν χρηστῶν ἐπιτυχεῖν σπουδάζει τῶν ἀρρήτων
τοῖς ὧδε πόνοις κτώμενος τὴν ἄνω βασιλείαν.- τ.σ. (13)

Νίκην καὶ χώραν δίδωσι, τῷ τῶν δαιμόνων στίφει,
τὸ τοὺς ἐπαίνους ἐκζητεῖν, τὴν εὔκλειαν διώκειν,
τὸ στέργειν πᾶσαν ἡδονήν, τὸ θέλειν πᾶσαν δόξαν,
ἐντεῦθεν συνεισάγεται καὶ σύμπασα κακία·
παγὶς καὶ τοῦτο τοῦ Σατᾶν κατὰ βροτῶν καὶ θήρα,
ὃ πάντες περικείμεθα ταλαίπωρον σαρκίον·
ἀνδρείαν κτῆσαι τὴν ψυχὴν καὶ σταθερὰν καρδίαν,
εἰ βούλει καταστρατηγεῖν καὶ πάθη καὶ Βελίαρ,
καὶ σωφροσύνης ἀληθῶς καὶ μολυσμῶν ρυσθήσῃ,
καὶ καθαρθήσῃ λογισμῶν καὶ φρένας φωτισθήσῃ,
εἰ γὰρ τὸν σύνοικον ἐχθρὸν οὐχ ὑποτάξεις τέκνον,
ἀπὸ τῆς νίκης τῶν λοιπῶν οὐδὲν ὠφεληθήσῃ,

ἀνδρεῖος γὰρ καὶ νικητὴς οὐχ ὁ τῶν πολεμίων
ΑΛΛ' Ο ΚΑΚΙΣΤΩΝ ΗΔΟΝΩΝ ΚΑΤΑΚΡΑΤΩΝ ΣΟΦΡΟΝΩΣ.
Δουλεύειν πάθεσι σαρκός, ὑπείκειν ἁμαρτίαις,
δεινότερον τοῦ χαλεποὺς ὑπηρετεῖν τυτάννοις·
Ὁ μὴ κρατήσας ἑαυτοῦ μακρὰν ἐλευθερίας
...καὶ μὴ δουλεύων ἡδοναῖς ἐλεύθερος δειχθήσῃ.
Τὸ σωφρονεῖν τοὺς γέροντας οὐκ ἔστι σωφροσύνη...
ἐπαινετὸν τὸ τὰ καλὰ καὶ βούλεσθαι καὶ πράττειν.
Ἂν τις ἐκ τοῦ σωματικοῦ, πνευματικὸς φανείη,
ἂν τις τῷ βάρει τῆς σαρκὸς καὶ τῶν παθῶν τῷ φόρτῳ
δεινῶς συμπιεζόμενος οὐδόλως καταπέσῃ,
οὗτος ἐστιν ἐπαινετός, οὗτος στεφάνους ἕξει.
Νεκροῦν τὰ μέλη τῆς σαρκός, Παῦλος φησίν ὁ Μέγας
ὅτι χωρὶς ἁγιασμοῦ καὶ δίχα τῆς εἰρήνης
τῆς κατὰ σῶμα καὶ ψυχὴν ἀδύνατον σωθῆναι·
Οὐχ ὁ φυλάξας τὸν πηλὸν ἀρρύπωτον ὡς ἔγνως,
οὗτος ἁγνὸς καὶ καθαρός, ἀλλ' ὁ τὰ μέλη ταύτης
καθυποτάξας τῇ ψυχῇ καὶ δοῦλα παραστήσας.
Ἡ σωφροσύνη πέφυκε, Νεῖλος φησὶν ὁ μέγας
τῶν ἀρετῶν καθολικὴ πασῶν ἐπωνυμία
...αὕτη γὰρ μόνη τὸ φρονεῖν, ὑπαγορεύει σῶα
σώφρων ἐστὶν ὁ μηδαμῶς μηδ' ἐν αὐτοῖς τοῖς ὕπνοις
κίνησιν ἐπιστάμενος, καθὼς φησὶν ὁ μέγας·
Θεοῦ γὰρ σκεῦος ἀληθῶς, σάρκες ἀνδρῶν ἁγίων
καὶ ταῦτα πάντα καθαρά, διόλου τηρητέον·
πορνεύει τις καὶ ρήμασι, τοῖς ὀφθαλμοῖς μοιχεύει,
καὶ ρυπασμὸν καὶ σύγχυσιν ἐκ τῶν ὠτίων πάσχει,
κακεῖθεν καὶ πρὸς τὴν ψυχὴν τὸ μίασμα κατάγει·
τινὲς ἀμέτροις βρώσεσι καὶ πόσεσι τὸν ὅρον
τῆς σωφροσύνης λύουσιν, ὁ δὲ τηρῶν τὸ μέτρον
τῆς παρθενίας δείκνυσιν ἐν ἑαυτῷ τὴν χάριν. (τ. σ. (15))

Δεῖ σὲ προσέχειν ἐκ τρυφῆς ὡς ἐξ ἰοῦ ἀσπίδος,
μίσει ἀεὶ τὰ περιττὰ τὴν βλάβην προγινώσκων
καὶ μὴ δευσμεύσῃς ἐν τρυφαῖς τὴν σὴν ἐλευθερίαν
μὴ χρηματίσῃς δυστυχῶς δοῦλος τῶν ὄντως δούλων.

Ἔργον γὰρ ὄντως κράτιστον τὸ τῆς γαστρὸς κρατῆσαι
Θεὸς γὰρ ἔστι ἀληθῶς τῶν ἡττωμένων ταύτη,
τὸν δ᾽ ἀνεχόμενον αὐτῆς οὐκ ἔστιν ἀθωοῦσθαι.
Ταύτης κρατήσας φίλτατε Παράδεισον οἰκήσεις
ἂν δ᾽ ὑπὸ ταύτης νικηθῇς εἰς ἅδην καταβήσῃ.
Δέσποινα πάντων ῥῦσαι με τῆς χαλεπῆς δεσποίνης
καὶ νικητὴν ἀνάδειξον ἐν πᾶσι κατὰ ταύτης·
ὁ γὰρ ἀγωνιζόμενος αὐτὸς φησιν ὁ Παῦλος
ἐκ πάντων ἐγκρατεύεται χρόνῳ παντὶ καὶ τόπῳ
καὶ τῷ φωτὶ τῶν ἀρετῶν πάντας Θεὸς λαμπρύνει.
Δύναμις ἀναστάσεως ἐγκράτεια τυγχάνει,
νηστεία πάντων τῶν καλῶν ἀρχῆθεν παραιτία,
ῥίζα καὶ μήτηρ καὶ πηγή, θεμέλιος καὶ βάσις,
ὅπλον ἀκαταμάχητον θεόθεν δεδομένων,
κατὰ δαιμόνων καὶ παθῶν καὶ φύσεως καὶ ζάλης
καὶ καθαρότης προσευχῆς καὶ τῆς ψυχῆς λαμπρότης.
Ὁ τῆς νηστείας ἀμελῶν ὡς λέγουν οἱ Πατέρες
χαῦνος ἀεὶ καὶ μαλθακός, καὶ ῥάθυμος τυγχάνει,
εἰς πᾶσαν πρᾶξιν ἀρετῆς τὸ δ᾽ ἐναντίον δῆλον,
ὁ δὲ ἐνδυόμενος αὐτὴν ἀεὶ καθάπερ ὅπλον,
διηνεκῶς τῷ θεϊκῷ καταπυργοῦται ζήλῳ.
Οὐκοῦν καιροὺς τῶν νηστειῶν τούτους χρεὼν φυλάττειν
μήπως οὐαὶ κληρώσηται καὶ φεῦ ὡς καταλύων
ὅρους καὶ νόμους πατρικούς, Πνεύματι γεγραμμένους.
Ὅπου γὰρ ἔχθρα τῶν ἐχθρῶν ὁ πόλεμος ἐκεῖσε,
ἀγῶνες δὲ καὶ πόλεμοι φέρουσι τὰ βραβεῖα
εἰ γοῦν ποθεῖς ἀπαλλαγὴν τῶν λογισμῶν δουλείας
τὴν πάλην ἔχε πρὸς αὐτοὺς παντὶ καιρῷ καὶ τόπῳ
στῆθι γοῦν στῆθι σταθερῶς ἐν πύλῃ τῆς καρδίας,
γυμνὴν ῥομφαίαν Ἰησοῦ τὴν κλῆσιν ἐπιφέρων,
ἐν αἰσθητοῖς καὶ νοητοῖς χείλεσιν ἀσιγήτοις.
Ζεῦξον τὴν κλῆσιν Ἰησοῦ τῇ τοῦ νοὸς τηρήσει,
καὶ καθαρίσεις ἀληθῶς καρδιακὰς ἀρούρας·
ὅσα γὰρ τῶν αἰσθητῶν ἁμαρτημάτων εἴδη,
τοσαῦτα καὶ τῶν λογισμῶν ὑπάρχουσι τὰ πάθη
ἅπερ καὶ πάσχει καθ᾽ εἱρμὸν ὁ μηδαμοῦ προσέχων,

ὁ δὲ προσέχων ὄφελος καὶ παρ᾽ αὐτῶν κερδαίνει,
ἔστι φασιν, ἐκ λογισμῶν καθόλου ναυαγῆσαι,
καὶ στέφος ἀμαράντινον ἐστι λαβεῖν ἐκ τούτων·
Πᾶς ὁ μὴ ἔχων λογισμοὺς κέκτηται πάλιν πρᾶξιν... (τ.σ. (14))

Οὐ μόνον τὴν ἐπίδειξιν προσδέχεται τῶν ἔργων,
Θεὸς καθάπερ λέγουσιν, ἀλλὰ καὶ προθυμίαν,
ὁρμὴ σκοπὸν καὶ πρόθεσιν, καὶ κίνητρα καρδίας
καὶ γνώμην καὶ προαίρεσιν καὶ νεῦμα διανοίας,
Θεὸς ἀεὶ περισκοπεῖ, Θεὸς ἐν πᾶσι βλέπει...
δὸς φησὶ μόνον πρόθεσιν ἀπὸ ψυχῆς ἐνθέως
καὶ σοὶ Θεὸς τὴν δύναμιν ἐν πᾶσι χορηγήσει.
Καὶ δύναται προαίρεσις, φησί τις τῶν ἁγίων
ὥρᾳ μιᾷ προσαγαγεῖν τῷ Κτίστῃ καὶ Δεσπότῃ
ὁπόσα πρόθεσις νωθρὰ προσφέρειν οὐκ ἰσχύει,
ἐν ἔτεσι πεντήκοντα, καὶ βλέπε πῶς ἀκούεις.
Τὸ θεῖον νεῦμα λέγουσι κινεῖ πρὸς τὸ συμφέρον
ἀπὸ τοῦ χείρονος ἀεὶ μετάγει πρὸς τὸ κρεῖττον,
ἀκίνητον ἐκ τοῦ καλοῦ φυλάττει πρὸς τὸ χεῖρον·
τὰ σύμπαντα καλὰ φησιν ἀνδράσιν ἐναρέτοις
ἡγιασμένοι τῷ Θεῷ φρόνημα πρᾶξις λόγος·
τοῦτο φασὶν ὡς ἀληθὴς καὶ φίλη τῷ Δεσπότῃ
λατρεία καὶ θεάρεστος τὸ τὴν ψυχὴν ἁγνεύειν,
ἡ καθαρότης τοῦ νοὸς δεκτὴ Θεῷ θυσίᾳ·
διὰ ποικίλων ἀρετῶν ἀείποτε καθαίρον.
Τὸ Βάπτισμα τοῦ Ποιητοῦ, τύπος φησὶν ὑπάρχει
τῶν ἑκουσίων ἀρετῶν ὃ δεῖ σὲ βαπτισθῆναι,
κινδύνους τὸ ποτήριον καὶ πειρασμοὺς ἐμφαίνει
τοὺς παρὰ τὴν προαίρεσιν ὃ δεῖ σὲ ποτισθῆναι.
Ἡ κτῆσις ἡ τῆς ἀρετῆς κακίαν ἀνακόπτει,
ἐπεὶ καὶ μῦρον ἀμαυροῖ παροῦσαν δυσωδίαν.
Ἐὰν μὲν ἔχεις ἀρετὴν ἕξης ὁμοῦ τὰ πάντα,
εἴ δὲ κακίαν, ὥς φασι, καὶ σεαυτὸν οὐχ ἕξεις.
Μηδὲ βραχὺ γοῦν νόμιζε τῆς ἀρετῆς κεκτῆσθαι
εἰ μὴ καὶ μέχρις αἵματος γενναίως ἀντιτάξῃ .
Ὃς οὐ ποιεῖ τὰ ἐντολὰς καὶ τὸν Θεὸν φοβεῖται,

οὐδόλως ἔστιν ἄνθρωπος, κἂν ἄνθρωπος τῇ φύσει,
προσωμοιώθη κτήνεσι καὶ παρασυνεβλήθη·
τοῦτο φησὶ πᾶς ἄνθρωπος, ἀντὶ τοῦ διὰ τοῦτο,
ἐκ τοῦ Θεοῦ γεγένηται, τὸ τὸν Θεὸν φοβεῖσθαι.
Φόβος Θεοῦ πηγὴ ζωῆς, θανάτου τὴν παγίδα
τοὺς τοῦτον κατορθώσαντας ποιῶν διαδιδράσκειν,
φόβος Θεοῦ κατακρατεῖ πάσης ἐπιθυμίας
καὶ θλίψις ἡ κατὰ Θεὸν τὴν ἡδονὴν ἐλαύνει.
Ἀρχὴ ἀγάπης λέγουσι τὴν αὔξησιν τοῦ φόβου.
Ὁ θεῖος φόβος, ὡς φασιν, ὅταν ἐντὸς εἰσέλθῃ,
πᾶσαν φωτίζει τὴν ψυχὴν τὰς ἀρετὰς διδάσκει
καὶ παροτρύνει συντηρεῖν, τοὺς τοῦ Κυρίου νόμους·
ὁ φόβος ὥσπερ λέγουσι καὶ παραδείσου πόθος,
πάντων δεινῶν καὶ λυπηρῶν ὑπομονὴν παρέχει.
Φόβος ποιεῖ ταπείνωσιν ἧς πρόεισι πραότης,
ἧς ἐντολῶν συντήρησις, ἧς κάθαρσις τελεία,
ἧς ἔλαμψις, ἧς ἕνωσις, ἡ μετὰ τοῦ ΝΥΜΦΙΟΥ.-

Ὅστις διδάσκει μὴ ποιῶν, ταλανισμὸν κληροῦται
ὁ δὲ διδάσκων καὶ ποιῶν, μακαριστὸς ὑπάρχει·
ἤρξατο γὰρ ὁ Κύριος ποιεῖν τε καὶ διδάσκειν...
Ἱδρῶτι σπεύσωμεν πολλῷ παιδεύεσθαι τὰ θεῖα
οὐ λόγοις ἀλλὰ πράξεσι μανθάνειν ἐπειχθῶμεν
γνῶσις καὶ μάθησις φησιν ἀνωφελὴς πρὸς πάθη,
κόπος δὲ θεῖος εὔχρηστος καὶ πόνος μετὰ πόθου.
Ἡ πρᾶξις ὅταν σύνδρομον τὴν θεωρίαν ἔχῃ
..............................................................................σοφίας.

Ἀλλ' ὁ συνάναρχος Υἱὸς ὡς ἄνθρωπος ὡράθη
ὡς ἂν τῆς ἰδιότητος ἀμεταβλήτως ἔχῃ.
Υἱὸς καὶ κάτω πεφηνῶς ὡς ἄνω προϋπῆρχε
Υἱὸς πατρός, Υἱὸς Μητρός, εἷς ἐν δυσὶν οὐσίαις
Υἱὸς ἀμήτωρ πρότερον, τὸ δεύτερον ἀπάτωρ
συναγαγεῖν ἐν ἑαυτῷ τὰ πάλαι διεστῶτα.- (τ.σ. (17))

Τοῦτο δὲ σύμβολον ἐστὶ τῆς ἀπλανοῦς σοφίας,
τὸ νήφειν κἀπὶ τῶν μικρῶν κἀπὶ τῶν ἐλαχίστων,
καὶ πανταχόθεν ἑαυτοὺς τηρεῖν ἀκριβεστάτως·
ἐξαγοράζεις μέγιστα διὰ τῶν βραχυτάτων...

# «Ἀκούτισόν μοι τ… φωνήν σου..»

(Ἆσμα Ἀσμάτων Κεφ. Β…

δηλ… τὴν ἀπερικάλυπτόν σου κ' καθαρὰν ἔννοιαν κ' μηδαμ… γισμοῦ ρύπον ἔχουσαν. «ἀκούτισον δηλ. τό: ..Ἰδοὺ ἡ δούλη… γένοιτό μοι κατὰ τὸ ρῆμα σου.. .. Μνημονεύοντες … λόγον τῆς Θεοτόκου εἰς τὸν γάμο ἐν Κανᾶ: «ὅ,τι σᾶς λέγει … μου νὰ τὸ πράξετε..» κ' εἰς κοίμησίν της ὅταν εὐλογοῦσε … λαὸν μετὰ τὴν ἀνάστασί της κ' μετάστασί της εἶπε: «Ἰδοὺ … μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν ἕως συντε…



«Ἐθαυμάσθης ψυχή μου ἅρματα Ἀμιναδάβ» (Ἆσμα ἀσμάτ. ΣΤ') Ἀμιναδὰβ ἑρμηνεύεται ὦ… ἑκούσια πατρός, δηλ. ηὐδοκήσεν ἐν ἐμοί ὁ Θεὸς κ' Πατὴρ «σχῆμα γενέσθαι τοῦ Λόγου!!

«Ἰδοὺ ἡ κλίνη τοῦ Σο…
(Ἆσμα ἀσμάτω…

Πρὸς τὴν ἐκκλησίαν τ… λέγει; Ἐνταῦθα τὸ … μα τὸ ὑποδεξάμενον τ… ζωήν. Ὢ πανάγνε … χου τάφε!..

«Αἱ χεῖρες Αὐτοῦ ..πεπ… μέναι θαρσεῖς» (Ἆσμα..) δηλ… τα τὰ θεῖα ἔργα θαυμαστὰ… καλὰ λίαν ... θαρσεῖς δηλ… θεοειδὴς πρόνοιά Του πρὸς ἡ… σωτήριος!!

Δεῦρο ἀπὸ Λιβάνου νύμφη» (Ἆσμα ἀσμάτων) δηλ. ἐκ Θεοῦ τὴν γένεσιν ἔχουσα κ' ὅλη ἁγιωτάτη ὑπάρχουσα

# Η ΑΛΗΘΗΣ ΠΑΡΘΕΝΙΑ

Ξενοπρεπὲς καὶ θαυμαστὸν τὸ τῆς ἁγνείας χρῆμα,
τῶν ἀσωμάτων ἴδιον ἐστὶν ἡ Παρθενία·
προσοκοιεῖ τοὺς γηγενεῖς τῷ τοῦ παντὸς Δεσπότη,
καὶ τοῖς ἀγγέλοις ὁμοιοῖ τοὺς κάτω κινουμένους·
καρδίας εἶπον οὐρανὸν τὴν σωφροσύνην εἶναι,
ταύτην ἐπέραστον Χριστοῦ καὶ θείαν κατοικίαν,
καὶ φύσεως ἀπάρνησιν, φασίν, ἀλλὰ ὑπὲρ φύσιν
ἔρως ἐκρούων ἔρωτα συνίστησιν ἁγνεία
καὶ πῦρ σβενῦον ἄλλο πυρ καὶ μαρασμὸν ἐπάγει,
εἰ τῶν ἀγγέλων προαιρῇ τὴν πολιτείαν ἔχειν,
σώματι μὴ κατενεχθῇς μὴ μιανθῇς ταῖς ὕλαις...

Εἰ τῶν ἀγγέλων προαιρῇ τὴν πολιτείαν ἔχειν,
σώματι μὴ κατανεχθῇς μὴ μιανθῇς ταῖς ὕλαις·
ὅρασις ἐκπορνεύουσα μιαίνει παρθενίαν,
καὶ πόρνη γλῶττα πονηρά, μῖξιν ἀφόβως πράττει·
πόδες ἀτάκτως βαίνοντες, τὴν νόσον ἐκκαλοῦνται,
καὶ χεῖρες οὐκ ἐκφεύγουσι τὴν καταδίκην ταύτην,
καὶ νοῦς σοι καὶ διάνοια, καλῶς παρθενευέτω·
καὶ σύμπασαν τὴν αἴσθησιν, παρθένον περιφρούρει.
Αἰσθήσεις σκοτιζόμεναι πρὸς τρία συγκινοῦνται,
πρὸς ἡδονὴν καὶ χρήματα καὶ κενωτάτην δόξαν,
Θεοῦ δὲ καὶ τῶν τοῦ Θεοῦ καὶ θείας εὐγενείας,
λήθην νοσοῦσι παντελῆ, φεῦ τῆς δεινῆς ἀπάτης!
καὶ τῶν μικρῶν ἀντέχονται τὰ μείζω παρεῶσαι.
τίς οὐ δακρύσει νουνεχής; τίς οὐ πενθήσει ταῦτα;
ἐπ᾽ ἄλλοις μὲν γενόναμεν, ἐπ᾽ ἄλλοις δὲ πονοῦμεν,
τὸ χεῖρον ἀνθαιρούμεθα, τὸ κρεῖττον ἀφιέντες,
βελτίῳ παρατρέχομεν προκρίναντες τὰ φαῦλα.

Ὁ τῶν δαιμόνων πόλεμος ἧτταν αὐτῶν δεικνύει,
ὅπου γὰρ πολεμούμεθα, κρατίστως πολεμοῦμεν,
μὴ πολεμοῦντες δαίμοσιν εὑρίσκομεν ὡς φίλους.
Ψυχῇ καλῶς καθαίρεται, τῇ πρὸς Θεὸν ἀγάπῃ

ψυχὴ σεμνύνεται καλῶς διὰ τῆς ἐγκρατείας,
τὸν νοῦν καθαίρει προσευχὴ καὶ παντελῶς λαμπρύνει·
σύστειλον ἐκ τῶν αἰσθητῶν πάντων τὸν λογισμόν σου
καὶ προσεγγίσεις τῷ Θεῷ καὶ τούτῳ πλησιάσεις.
Ψυχὴ φροντίδων περιττῶν μηδόλως ἀποστᾶσα,
οὐδόλως δύναται Θεῷ γνησίως ἀγαπῆσαι,
οὐδὲ βδελύξεται ποτὲ τὸν σατανᾶν ἀξίως,
κώλυμα περιφέρουσα τὴν μέριμναν τοῦ βίου.
Νόσος μεγάλη τῆς ψυχῆς καὶ τῆς κακίας ἕξις,
καὶ τραῦμα δυσθεράπευτον φιληδονοῦσα γνώμη.
ἡ δ᾿ ὑπερήφανος ψυχὴ θρόνος παθῶν ἁπάντων.
Ὑγεία πάσα τῆς ψυχῆς ἀπάθεια καὶ γνῶσις
ἧς ὁ δουλέυων ἡδοναῖς ἐπιτυχεῖν οὐκ ἔχει.
Τὴν σὴν ψυχήν, ἥ λέγεται καὶ νύμφη τοῦ Σωτῆρος
ἀφαλεστάτως φύλαττε καὶ πρόσεχε καὶ τήρει,
ὡς παραστήσῃς τῷ Χριστῷ νύμφην ἁγνὴν Παρθένον.
Δεῖ τὴν ψυχὴν ἄρχειν παθῶν καὶ τῷ Θεῷ δουλεύειν
πάντῃ καὶ γὰρ ἀμήχανον ἀρέσκειν ἀμφοτέροις.
Χαίρει ψυχὴ τῶν ἀρετῶν καὶ τῶν ἐνθέων ἔργων
ἐπιμελῶς φροντίζουσα τὸ ἐναντίον δῆλον,

..........................................................................................

Θεὸς ἐπαναπαύεται ψυχὴ ταπεινουμένη
ὅταν ἐγγὺς ἐστι ψυχὴ τοῦ σκότους ἐξιέναι,
καὶ πόδα τίθεσθαι, φασιν, ἐν ταῖς ὁδοῖς Κυρίου,
Τοῦτον σημεῖον ἐναργές, ΕΚΚΑΙΕΤΑΙ ΚΑΡΔΙΑ...
...εἰ θέλομεν θεούμεθα, βουλόμενοι πλουτῶμεν
.............................................................................. (τ.σ. (16))

Θεὸν καλεῖσθαι λέγουσι ἐξ ἐτυμολογίας
καὶ γὰρ εἰρήκασι αὐτὸν τινες ἀπὸ τοῦ θέειν
ὡς πάντα περιθέοντα καὶ σκέποντα τὰ πάντα
ἄλλος, Θεὸς ὡς καυστικὸς ὡς αἴθων ὀνομάζει
πῦρ γὰρ αὐτὸν γινώσκομεν καὶ πῦρ καταναλίσκον.
Ἕτεροι τοῦτον λέγουσι Θεόν, ἐπὶ θεᾶται
ἅπαντα καὶ λεπτομερῶς οἶδε πρὸ τοῦ γενέσθαι.
Τὸ θεῖον φῶς τὸ τριφαὲς τὸ λάμπον ἑνιαίως

πάντα φωτίζον ἄνθρωπον ἐρχόμενον εἰς κόσμον.
Κατὰ Δαυῒδ ἀποκρυφὴν ἔθετο τοῦτο σκότος,
τὸ σκότος δὲ σοὶ γνώρισμα τῆς ἀκαταληψίας
εἰς ἀγνωσίαν καλυφθὲν τὴν ὑπὲρ πᾶσαν γνῶσιν
ἥν ὀφθαλμοὶ τῆς πίστεως καὶ μόνοι θεωροῦσιν
ὅθεν καὶ σὺ κατάλιπε ζητήσεις ἐκζητήσεις
τὴν πίστιν ἀσπασάμενος ἐκ μέσης τῆς καρδίας.
Πίστις ὑπόστασις ἐστὶ τῶν ὑπὲρ νοῦν καὶ λόγον·
αἱ δὲ λαμπραὶ τῆς πίστεως φασὶν εὐεργεσίαι
δωροῦνται μεγαλοπρεπῶς, ἥπλωται γὰρ ἡ Χάρις
δεξαμενὴ τῆς χάριτος ἡ δεχομένη πίστις
ἔπειτα πάντες ἐξ αὐτῆς ὡς ἐκ πηγῆς ἀντλοῦσι
πρὸς ὅπερ ἕκαστος πιστὸς ἐπλούτισεν ἀγγεῖον
τουτέστι πρὸς τὴν πίστιν μου τὰ δῶρα μοι πηγάζει
ὁ Κτίστης δόξης με ποιῶν αὐτοῦ συγκληρονόμον.
Τὴν πίστιν ἔχων ἀσφαλῆ ταύτην ὀρθῶς κατέχει
ταύτην καλῶς κτησάμενος πατήσεις τοὺς ἐχθρούς σου
καὶ κυριεύσεις τῶν παθῶν καὶ τούτων βασιλεύσεις.
Σέβας ἡ μετὰ πίστεως προσκύνησις ὑπάρχει·
ἡ δὲ λατρεία πέφυκε δι᾽ ἔργων θεραπεία..
Ἐνθέων ἔργων χωρισμὸς πίστιν νεκρὰν δεικνύει.
Ὁ μετ᾽ ἐλπίδος εἶπε τις καὶ μετὰ πόθους σπεύδων
ἐπὶ τὴν τελειότητα κἄν ἐπ᾽ αὐτῇ μὴ φθάσῃ
κλῆρος αὐτῷ οὖν ἐκλεκτοῖς μερὶς σὺν τοῖς ἁγίοις.
Ὅταν ἡμεῖς εἰς τὸν Θεὸν ἐλπίζωμεν ὡς πρέπει,
Αὐτὸς ἑτοίμως ἅπαντα πληροῖ τὰ πρὸς τὴν χρείαν.
Ταῦτα γινώσκων φίλτατε διαίρει τὰς ἐλπίδας
στέργε τὴν ἀληθεύουσαν, φεῦγε τὴν ἀπατῶσαν.
Ἐκεῖνος ὄντως εὐσεβὴς ὡς οἱ Πατέρες εἶπον
ὃς οὐδαμῶς ἐφίεται τινος τῶν ἀλλοτρίων,
ἀλλότρια καὶ ξένα δὲ τῶν εὐσεβῶν ἁπάντων,
ὅσα κτιστὰ καὶ γεηρὰ καὶ κάτω πεφυκότα.
Οὐκ ἔστιν ἰσχυρότερον οὐδὲν τῆς εὐσεβείας
οὐδὲν μακαριώτερον τοῦ πάσχειν ὑπὲρ ταύτης·
ὡς τοῦ καιροῦ καλοῦντος σε γενναίως ἀγωνίζου,
γρηγόρησον, προθύμησον ἐπίμεινον τῇ μάχῃ

...ὀξέως τοίνυν σπούδασον, ἀπόθανε προθύμως
ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ καὶ ζήσῃ εἰς αἰῶνας. -

...καὶ κρείσσων πόλεμος καλὸς ἐπισφαλοῦς εἰρήνης
ἀεὶ σαυτὸν καὶ μαχητὴν ἑτοίμαζε καὶ πρᾶον
τὸ μὲν τοῖς ὁμοφύλοις σου τὸ δὲ τοῖς πολεμίοις.
Ἄνανδρος γὰρ οὐ νικητής, ἀλλ᾽ οὐδὲ εὐφημητέος
ἐνταῦθα δὲ εἰρήκασι τινὲς ἐκ τῶν πατέρων
ψυχρὰ ψυχῆς διάθεσις ἀσέλγεια νοεῖται
Πράττε Θεοῦ τὰς ἐντολὰς τήρει Θεοῦ τοὺς νόμους
ἀγάπα, στέργε, φύλαττε τὰς προσταγὰς τοῦ Κτίστου
καὶ τὰς κελεύσεις τὰς Αὐτοῦ πόθει ψυχῆς ἐκ βάθους
οὕτω γὰρ κατὰ ψυχὴν καὶ σῶμα φυλαχθήσῃ.

Ὑψηλοτάτης ἀρετῆς σαφέστερον σημεῖον
τὸ καὶ πρὸς τοὺς ἐχθρεύοντας φιλίας διακεῖσθαι
καὶ πάντων ὑπερεύχεσθαι τῶν ἐπηρεαζόντων
καταρωμένους εὐλογεῖν, εὐεργετεῖν μισοῦντας
ἐν τῷ μὴ κρίνειν ἕτερον ἐκφεύγεις τὸ κριθῆναι
τὸ πρὸς ὑπόκρισιν μηδὲν μὴ λέγειν μηδὲ πράττειν. (τ.σ. (18))

Λύμη καὶ τύφλωσις ψυχῆς καὶ σκότωσις καὶ ζόφος
τὸ τοὺς ἐπαίνους ἐκζητεῖν τοὺς παρὰ τῶν ἀνθρώπων
τὸ τῆς κενῆς ἀντέχεσθαι καὶ φθειρομένης δόξης
Λύσιν εἰ θέλεις τῆς δεινῆς ταύτης εὑρεῖν κακίας
μετὰ Θεοῦ καὶ σὺν Θεῷ ταῦτης ἀπαλλαγῆναι
πάντοτε στρέφε κατὰ νοῦν λογίζου καθ᾽ ἑκάστην
ὅπερ προεῖπε θαυμαστὸς προφήτης θεοπάτωρ
ὀστέα διεσκόρπισεν Θεὸς ἀνθρωπαρέσκων
καὶ μὴ ποιήσῃς τίποτε πρὸς ἔπαινον ἀνθρώπων
ἀλλ᾽ ἐκ Θεοῦ τὰ ἀμοιβὰς ὧν διαπράττῃ ζήτει
κενοδοξίας ἴδιον ὑπόκρισις καὶ ψεῦδος
ὁ φθόνος σὺν οἰήσει δὲ τῆς ὑπερηφανείας
ἐκ τούτων ρύσαιτο Θεὸς καὶ σὲ (καὶ) πάντας τέκνον
καὶ κατευθῦναι πρὸς ζωὴν τὴν ἄληκτον καὶ θείαν.
Οὐ γὰρ χιόνα τίκτει πῦρ ἀλλ᾽ οὐδὲ δόξα δόξαν·

μέλλουσι πάντες ἀδοξεῖν ὅσοι ζητοῦσι δόξαν·
οἱ δόξης καταφρονηταὶ καταξιοῦνται δόξης.
Τὰς ἀρετὰς ταπείνωσις πόνος σὺν ἀτιμία
τὰς δὲ κακίας ἡδοναὶ δόξαι τιμαὶ γενῶσιν.
Τιμῆς καὶ δόξης φρόντιζε τῆς ὑπὲρ νοῦν καὶ θείας
ἡ γὰρ παροῦσα ψεύδεται τοῦτο καὶ σὺ γινώσκεις
Φεῦγε διόλου τὴν τιμὴν ἵνα τιμὴν κερδίσης
καὶ μὴ ποθήσης τὴν τιμὴν μήπως ἀτιμασθήσῃ.
Μὴ παραμέτρει σεαυτὸν πρὸς τοὺς ἀσθενεστέρους
μήπως ἐμπέσῃς δυστυχῶς ἀλαζονείας βόθρῳ·
βλέπε πρὸς θείας ἐντολὰς ἀλλὰ μὴ πρὸς τὸν πέλας
μὴ ταπεινοῦ τοῖς ρήμασιν ἀλλὰ καὶ τῇ καρδίᾳ
...δαιμόνων οἰκπτήριον τὴν ὑπερηφανίαν
καὶ νικητήριον ἐστὶ ἡ ταπεινοφροσύνη.
Μίμημα θεῖον ἀληθῶς ἡ ταπεινοφροσύνη·
ἡ τελειότης ταύτης (δέ) τὸ φέρειν εὐχαρίστως
τὰς λεγομένας καθ᾽ ἡμῶν ψευδεῖς κατηγορίας.
Σπούδασον ταύτῃ κτήσασθαι, ἐν ταύτῃ γὰρ ὀλέσεις
τὸν σατανᾶν σὺν τοῖς αὐτοῦ στρατεύμασιν εἰς τέλος.
Ἡ βασιλὶς τῶν ἀρετῶν ἡ ταπεινοφροσύνη !
Τῶν φοβουμένων δὲ Θεὸν καὶ τοῦτον σεβομένων
γνωριστικὸν εὐτέλεια καὶ ταπεινοφροσύνη.
Ἂν ἑαυτὸν ἐξουθενῆς ἐν ἅπασι καὶ μέμψῃ
ὁδὸν ὁδεύεις ἁπλανῶς τῆς ταπεινοφροσύνης
Πραότης καὶ ταπείνωσις πάντων καλῶν ἀκρότης
πάντων χωρὶς τῶν ἀγαθῶν τὸ ταπεινοῦσθαι μόνον
τοὺς κεκτημένους τῷ Θεῷ προσάγει σεσωσμένους.
Μὴ μείνωμεν βραδύνοντες, μὴ ταύτης στερηθῶμεν
καὶ νὺξ κατακαλύψειεν ἡ τῶν ὑποχθονίων·
ταύτης ἐκτὸς τυγχάνοντες ἐγγὺς ἐσμὲν δαιμόνων
καὶ πᾶσαν ἐξασκήσωμεν τὴν ἀρετὴν εἰς ἄκρον.
Πᾶς πόλεμος δαιμονικὸς συνίσταται πρὸς πάντας
τοῖς μὲν γὰρ ἐπιτίθεται διὰ τῆς ἀμελείας
τοὺς δ᾽ ἄλλους παραπόλλυσι δι᾽ ὑπερηφανείας·
ἐπ᾽ ἀρεταῖς ἐκίνησε τὸν φθόνον καθ᾽ ἑτέρων,
ὁ πρῶτος μὲν ἐλεεινός, μακάριος ὁ τρίτος

τὸ μέσον δὲ καὶ δεύτερον τακτέον ἐν ἀθλίοις.
Νίκης σημεῖον ἐναργές, κατάρχεσθαι γενναίως!
Ἴσθι σαφῶς εἰ δειλιᾷς εἰ πρὸς φυγὴν ἐκκλίνεις
θαρσεῖς ἐπιτεθήσονται ........................................... σ.19
Θεοῦ παραχωρήσαντος ἀξίως καὶ δικαίως.-

Νεκροὶ μενοῦν οἱ δαίμονες πρὸς τοὺς δικάιως ζῶντας. (τ.σ. (19))

Νοῦς φωτισθεὶς παρὰ Θεοῦ, λόγους σοφοὺς προφέρει,
ψυχὴ λαμπρὰ φωτοειδὴς ψυχὴ κεκαθαρμένη,
τοὺς θείους κτᾶται λογισοὺς πλουτεῖ σεπτὰς ἐννοίας
ψυχὴ καλῶς καθαίρεται, τῇ πρὸς Θεὸν ἀγάπῃ·
ψυχὴ σεμνύνεται καλῶς διὰ τῆς ἐγκρατείας,
τὸν νοῦν καθαίρει προσευχὴ καὶ παντελῶς λαμπρύνει·
σύστειλον ἐκ τῶν αἰσθητῶν πάντων τὸν λογισμόν σου
καὶ προσεγγίσεις τῷ Θεῷ καὶ τούτων πλησιάσεις.
... οἶκος ψυχῆς ὑπομονή, ταύτῃ καὶ γὰρ κρατεῖται
χρῆμα ψυχῆς ταπείνωσις τρέφεται γὰρ ἐκ ταύτης
ψυχὴ μηδόλως κοσμικῶν φροντίδων ἀποστάσα
οὐδόλως δύναται Θεὸν γνησίως ἀγαπῆσαι,
οὐδὲ βδελύξεται ποτὲ τὸν σατανᾶν ἀξίως
κώλυμα πειφέρουσα τὴν μέριμνα τοῦ βίου
... ὅσον ὁ βίος ρυπαρὸς τυγχάνει καὶ κτηνώδης,
πενθεῖν προσῆκον τὴν ψυχὴν στενάζειν καὶ δακρύειν
νόσος μεγάλη τῆς ψυχῆς ἡ τῆς κακίας ἕξις
ἡ δὲ ὑπερήφανος ψυχὴ θρόνος παθῶν ἁπάντων
ἀήττητος ἀνίκητος ψυχὴ μὴ ραθυμοῦσα.
Ὑγεία πᾶσα τῆς ψυχῆς ἀπάθεια καὶ γνῶσις
ἧς ὁ δουλεύων ἡδοναῖς ἐπιτυχεῖν οὐκ ἔχει.
Ρώμη ψυχῆς καὶ φωτισμὸς ἐστὶν ἡ σωφροσύνη
τρυφὴ καὶ πόσις καὶ ζωὴ πίστις ἐλπὶς ἀγάπη
ὡς δ᾽ ὑπερῷον ὑψηλὸν ἡ ξένη θεωρία.- (σ. 22)

# ΚΑΤΑ ΚΑΤΑΚΡΙΣΕΩΣ

Τὸ κατακρίνειν ὄλεθρος ἀπώλεια τελεία·
Οἱ μὴ κριθῆναι θέλοντες, μὴ κρίνετε τοὺς πέλας·
ἀκούσατε σκοπήσατε τοὺς λόγους τοῦ Δεσπότου
ὡς ἕκαστος κριθήσεται καθὼς ἑτέρους κρίνει
τοὺς ἄλλους ἀθωώσωμεν, ὡς ἂν ἀθωωθῶμεν,
ἂν ἑαυτοῖς προσέχωμεν οὐ θεωροῦμεν ἄλλους
ἂν ἀμελῶμεν ἑαυτῶν σκοποῦμεν τὸν πλησίον·
κρεῖττον οὖν κρίνειν ἑαυτοὺς ἢ κατακρίνειν ἄλλους
μηδένα ψέγε πώποτε, διάβαλλε μηδένα.
Ὅρα καὶ βλέπε μήποτε πέσῃς δοκῶν ἑστάναι·
ὀλισθηρὸν ἀλλοιωτὸν τὸ τῶν ἀνθρώπων γένος,
ἄπταιστος ἀναμάρτητος οὐδεὶς τῶν ἐν τῷ βίῳ.
Καὶ γὰρ εἰς ὅσον ἀρετῆς ὕψος ἀρθῆναι φθάσῃς
ἔτι κακίας ὑλικῆς οὐχ ὑπερήρθης πάντῃ
ἔτι καὶ πρόσγεια φρονεῖς, ἔτι δεσμῷ κατέχῃ
μὴ γοῦν κρίνε τὸν ἕτερον μὴ τὰ τῶν ἄλλων ζήτει
μᾶλλον δὲ σκόπει τὰ σαυτοῦ καὶ δίκαζε καὶ κρίνε.
Μόνον Θεοῦ τὸ δικαιοῦν ἐστὶ καὶ κατακρίνειν
Μόνον γὰρ Οὗτος ἀκριβῶς τὴν τῶν ἀνθρώπων οἶδεν
ἀναστροφὴν καὶ δύναμιν κατάστασιν καὶ τάξιν
τρόπους καὶ τόπους καὶ καιροὺς κινήσεις ἐνθυμήσεις.
Νοῦς δὲ σεπτὸς ὡς λέγουσι καὶ σταθερὸς καὶ θεῖος
προσέχει μὲν ταῖς ἀρεταῖς εἰ που κατίδῃ ταύταις
καὶ θᾶττον διανίσταται πρὸς πράξεις φιλοθέους
καὶ σημειοῦται τὰ καλὰ παρ᾽ ἑαυτῷ φυλάττων.
Τοῖς φαύλοις οὐ προσέχει δὲ τὰ χείρω παρατρέχει
καὶ τὰ ποιούμενα κακῶς ὡς ἔχει παρακύπτει.
Τὸ κρίνειν καὶ καταλαλεῖν πρόξενον ἀπωλείας.
Ταῖς ἀκοαῖς μὴ πλανηθῆς ἂν τοῖς ὠσὶν ἀκούσῃς
κατὰ τινων τῶν ἀδελφῶν πολλὰς κατηγορίας,
πρὶν ἐξετάσης ἀκριβῶς μὴ κατακρίνεις τοῦτον.
Ὁ γνώστης γὰρ τῶν καρδιῶν ὁ λογισμοὺς ἐτάζων
κραυγῇ Σοδόμων οὐδαμῶς ἐπίστευσεν ὡς ἔγνως,
ἀλλ᾽ ἴδε καταβὰς φησιν ἂν ἀληθεύῃ ταῦτα.

Πάλιν κατέβη Κύριος φησὶν ἰδεῖν τὸν πύργον.
Ἃ σὲ καὶ συνετίζουσι, ἃ καὶ διδάσκουσί σε
μηδόλως κρίνειν ἀδελφὸν ἐξακοῆς καὶ μόνης.
Ὡς ὁ χρυσὸς ἄνευ πυρὸς οὐκ ἂν δοκιμασθείη
οὕτω καὶ δίχα τῶν κακῶν πᾶν ἀγαθὸν λαμβάνει
ὡς ὂν δοκιμαζόμενον ὁποῖον τι τυγχάνει.
Ὅπου τὸ Πνεῦμα λέγουσιν ἀκολουθεῖ καὶ πάλη
ὀνειδισμὸς καὶ διωγμὸς καὶ χλευασμὸς καὶ ψόγος
καὶ σύνες ἐκ τῶν προφητῶν καὶ τῶν δικαίων πάντων
καὶ τοῦ Σωτῆρος καὶ Θεοῦ καὶ Κτίστου τῶν ἁπάντων.
Ὅταν γνωρίσῃς σεαυτὸν δεόντως προσηκόντως
τότε γνωρίσεις καὶ Θεὸν ὡς δυνατὸν γνωρίσεις...

Λογίζου λέγει τις σοφός, τίς ἔσῃ τίς γεννήσῃ
καὶ καταλύσεις οἴησιν καὶ τὴν δεινὴν ἀπάτην
καὶ μάθῃς χοῦς καθεστηκὼς ἔμπλεως δυσωδίας...
ἐξασθενοῦντων ἑαυτοὺς καὶ ταπεινοφρονοῦντες
γῆ καὶ σποδὸν οἰόμενοι καὶ σκώλυξ πεφυκέναι
πάντων λαῶν ἐξουθένημα κατὰ τὸ γεγραμμένον,
ὅσον γὰρ καθαρεύουσιν οἱ δίκαιοι τοσοῦτον
κατανοοῦσι ἑαυτοὺς ἁμαρτωλοὶ τυγχάνειν (20)

# ΤΟ ΘΕΙΟΝ ΚΗΡΥΓΜΑ ΚΑΙ ΟΙ ΚΗΡΥΚΕΣ

Δεῖ τὸν διδάξαντα μαθεῖν ἅπερ διδάξαι μέλλει
τὸ δὲ μαθεῖν ἐκ τοῦ παθεῖν, τὸ γεγραμμένον ἔγνως
διδασκαλίαν ἔμπρακτον ἀγάπα, στέργε πόθει.
Ὅπερ αὐτὸς οὐκ ἔπραξας πρὸς ἕτερον μὴ λέγε
Ὅπερ οὐ σὺ κατέλαβες μὴ παραδώσῃς ἄλλῳ.
Φοβοῦ Θεὸν καὶ τοὺς αὐτοῦ σπεῦδε φυλάττειν νόμους.
Οὐ πρὸς τὸ κατορθούμενον οἱ στέφανοι θεόθεν
ἀλλὰ πρὸς τὴν προαίρεσιν καὶ πρόθεσιν καὶ γνώμην,
πρὸς τὸν σκοπὸν πρὸς τὴν σπουδὴν τῶν κατορθοῦν θελόντων.
...Μέγα καλὸν τὸ πένητας οἰκτείρειν ἀλλὰ μεῖζον
τὸ διορθοῦσθαι τὰς ψυχὰς διὰ διδασκαλίας.
Φίλον εἴπερ τι τῷ Θεῷ ψυχῶν ἡ σωτηρία
δῶρον εὐάρεστον αὐτῷ κρεῖττον παντὸς ἑτέρου
δίδου ψυχὴν ἀντίλυτρον καὶ σώζου σώζων ἄλλους.
Οὐδὲν γὰρ εὐαπόδεκτον ὑπάρχει τῷ Δεσπότῃ
ὡς τί προσάγειν λογικὰς ψυχὰς κεκαθαρμένας
καὶ θεουμένας χάριτι διὰ τῆς μετανοίας .
Μιᾶς ψυχῆς ἀντάξιος ὁ κόσμος πᾶς οὐκ ἔστι,
τὸν μὲν γὰρ οἴδαμεν φθαρτόν, ἡ δὲ εἰς αἰῶνας μένει.
Πολλοὶ μὲν λέγομεν φησιν ὁ Μάξιμος ὁ θεῖος
ὀλίγοι δὲ καὶ πράττομεν τοῖς λόγοις καταλλήλως
ἀλλὰ τὸν λόγον τοῦ Θεοῦ μηδεὶς καπηλευέτω
δι᾽ ἣν ἀμέλειαν αὐτὸς περίκειται νοθεύων.
Πάντες δ᾽ ὁμολογείτωσαν αὐτῶν τὰς ἀσθενείας
καὶ κήρυκες φαινέσθωσαν τῆς θείας βασιλείας
μήπως ὡς παραβαίνοντες τὰς ἐντολὰς κριθῶμεν
μήπως ὡς παρεξηγηταὶ τῶν τοῦ Κυρίου νόμων
τὰς δίκας δώσωμεν διττὰς ἐν τῷ καιρῷ τῆς δίκης.

# ΔΙΑΚΡΙΣΙΣ ΚΑΙ ΑΔΙΑΚΡΙΣΙΑ

Διάκρισις ὡς λέγουσι λύχνος ἐν τῇ σκοτίᾳ
τῶν πλανωμένων ὁδηγός, λιμὴν χειμαζομένων·
διάκρισις καθέστηκε ἐν τοῖς εἰσαγομένοις
τῶν κατ᾽ αὐτοὺς ἐπίγνωσις βεβαία στερροτάτη
ἐν δὲ τοῖς μέσοις, τῶν καλῶν καὶ τῶν κακῶν ἁπάντων
ἄπταιστος κρίσις καὶ τομή, καὶ χωρισμὸς καὶ τάξις
τὰ γὰρ κυρίως ἀγαθὰ τῶν φυσικῶν χωρίζει
εὖ μάλα διακρίνουσα κατ᾽ αἴσθησιν καὶ γνῶσιν
ὡς μὲν αἰσθήσει νοερᾷ τὴν κρίσιν ποιουμένη
ἐν δὲ τελείοις πέφυκεν ὡς εἷς ἀββᾶς εἰρήκει
γνῶσις ἡ δι᾽ ἐλλάμψεως ἐγγινομένη θείας
οἰκίῳ λύχνῳ θαυμαστῶς αὐγάζουσα τὰ πάντα
καὶ τοῖς ἄλλοις σκοτεινὰ φωτοειδῆ δεικνῦσα
Φεῦ τῆς κακίστης καὶ δεινῆς τοσαύτης μοχθηρίας
ἵνα μὴ λέγω χαλεπῆς ἄκρας ἀναισθησίας
καὶ τῆς πολλῆς οἰήσεως καὶ τοῦ μεγάλου τύφου
ἐξ ὧν τὸ πάθος τίκτεται τῆς ἀδιακρισίας
ἥν ἐπιθόλωσιν φησὶν νοὸς εὐδοκιμοῦντος.
...πολλὰ πολλάκις φαίνεται παραίτια ζημίας
ἔνδον δ᾽ αὐτῶν εὑρίσκομεν ὠφέλειαν μεγίστην,
τὸ δ᾽ ἐναντίον πρόδηλον καὶ πᾶσιν ἐγνωσμένον.-

Δικαιοσύνης ἥλιος Θεὸς ὁμολογεῖται
πᾶσα ψυχὴ φιλόθεος, ὥσπερ κηρὸς ὑπάρχει,
πᾶσα ψυχὴ φιλόϋλος πηλῷ παρομοιοῦται,
ὅθεν τὴν μὲν φιλόθεον φωτίζων ἁπαλύνει
τὴν δὲ ξηραίνει παντελῶς, καὶ πῦρ τελεῖ καὶ φλόγα
εἰ προσιέναι τῷ Χριστῷ πρὸς κοινωνίαν βούλει
κατὰ τὴν πόρνην πρόσελθε, κατὰ τὴν Χαναναίαν
καὶ μῖσος ἅπαν ἐκ τῆς σῆς ἀπόρριψον καρδίας,
οὕτω σε καὶ προσήσεται Χριστὸς καὶ θεραπεύσει. - (σελ 23)

# ΠΕΡΙ ΚΑΜΑΤΩΝ ΕΥΣΕΒΩΝ

Ὑπὲρ Θεοῦ καὶ τῶν Θεοῦ πανσέπτων ἐνταλμάτων,
καὶ τῶν δογμάτων τῶν αὐτοῦ καὶ νόμων καὶ Κανόνων,
προήσωμεν καὶ τὰς ψυχὰς καὶ κερδαινοῦμεν ταύτας,
τοῦτο τὸ πέρας τῶν πολλῶν κατὰ Θεὸν ἀγώνων
αὕτη τοῖς πόνοις τοῖς καλοῖς, τοῖς ὑπὲρ τοῦτο λῆξις,
καὶ ταῖς σωτηριώδεσιν ἁπάσαις ἐργασίαις,
τὸ θνήσκειν ὑπὲρ τοῦ Θεοῦ, καὶ ζῆν ἀτελευτήτως,
ὡς οἶδας , ὡς ἀνέμαθες, προσχὼν τῷ Χρυστοστόμῳ,
καὶ πλουτισθεὶς πνευματικῶς ἀπὸ χρυσέας γλώττης·
τοῦ γὰρ ἀπόστολον φησίν, ὑπάρχειν τοῦ Κυρίου,
τοῦ καταγγέλλειν ἅπασι θεσμοὺς Εὐαγγελίων,
καὶ τοῦ διδάσκειν λογικῶς τὰς προσταγὰς τοῦ Κτίστου,
κατὰ πολὺ λαμπρότερον, σεμνότερον καὶ κρεῖττον,
τὸ περικλείεσθαι φρουραῖς ὑπὲρ τῆς ἀληθείας,
καὶ τὸ δεσμοῖς προσομιλεῖν ὑπὲρ αὐτῆς παντοίοις·
εἴ τις φιλεῖ τὸν Κύριον, ἔγνω, φησίν, ὅ λέγω,
ὅς περικαίεται θερμῶς, τῷ τοῦ Δεσπότου φίλτρῳ,
δύναμιν ἔχει τῶν δεσμῶν, τὴν δύναμιν εἰδέναι·
διὸ συνεῖναι βούλεται, τῷ θειοτάτῳ Παύλῳ,
ἐν τοῖς δεσμοῖς καὶ φυλακαῖς, ταῖς ὑπὲρ εὐσεβείας,
ἢ συνεπαναπαύεσθαι καὶ συντιμᾶσθαι τούτῳ·
εἴ τις γοῦν τοῦτο φίλτατε τῇ πείρᾳ δοκιμάσῃ
χαρᾶς ἀπείρου πληρωθῇ, κἂν καὶ δεθῇ τὸ σῶμα.
Ὑπὲρ γὰρ λόγον ἀληθῶς ἐστιν ἡ θυμηδία
ἥν ὁ Χριστὸς τοῖς δι᾽ αὐτὸν πανθάνουσι παρέχει·
κἂν τις συγκρίνειεν αὐτὴν πρὸς τὴν τῶν προπατόρων,
καὶ πρὸ τῆς παραβάσεως, εὕρῃ διπλὴν καὶ πλείῳ.

Ὑπὲρ τῆς πίστεως τῆς σῆς ἐρειρησμένος στῆθι,
πρὸς πάντας ἀνταγώνισαι τοὺς ἐναντιουμένους·
ἰδέτωσαν, μαθέτωσαν τὸν ζῆλον, τὴν ἀνδρείαν,
τὴν εἰς Θεὸν πεποίθησιν, τὴν ἄκραν καρτερίαν,
καὶ στηριγμὸν πρὸς τὸ καλὸν λαβέτωσαν ἐντεῦθεν.
ταῖς τῶν βαλλόντων σε βολαῖς ἐξίτηλος μὴ γένῃς,

οὓς μὴ καθυποκλίνειας αὐτῶν ταῖς κολακείαις·
τὰ καθαρὰ διάστειλον ἀπὸ τῶν ἀκαθάρτων,
καὶ μέσον διαχώρησον βεβήλου καὶ ἁγίου·
κἂν σοι πατήρ, κἂν ἀδελφός, κἂν συγγενής, κἂν φίλος
τὴν κοινωνίαν τοῦ κακοῦ πολλάκις εἰσηγῆται,
τοῦτον μακρὰν ἀποβαλοῦ, τοῦτον ἐκτρέπου πόρρῳ·
οὐδὲ γὰρ χείρ, οὐδ᾽ ὀφθαλμὸς εἰς τὴν ζωὴν κωλύων
στερκτέος, ἀλλὰ μισητὸς ἀνδράσι νουνεχέσιν,
ὡς ὁ Χριστὸς προείρηκεν ἐν τοῖς εὐαγγελίοις.
κἂν τὴν εἰρήνην ἀγαπᾷς, ἐν ἄλλοις ταύτην στέργε,
ἐν τούτοις δὲ καὶ κραταιῶς καὶ θαρσαλέως μάχου·
μάχην φησὶ καὶ μάχαιραν ἦλθον βαλεῖν τῷ κόσμῳ,
ἀλλ᾽ οὐκ εἰρήνην βλάπτουσαν τοὺς ταύτην ἀγαπῶντας·
καὶ κρείσσων πόλεμος καλὸς ἐπισφαλοῦς εἰρήνης·
ἀεὶ σαυτὸν καὶ μαχητὴν ἑτοίμαζε καὶ πρᾶον,
τὸ μὲν τοῖς ὁμοφύλοις σου, τὸ δὲ τοῖς πολεμίοις.

Ἐκ τῆς "Ἀλαφαβηταλφαβήτου" τοῦ ἐν
ἁγίοις Πατρὸς ἡμῶν Μελετίου τοῦ Ὁμολογητοῦ,
ἑνὸς ἐκ τῶν κυριωτέρων ἀντιπάλων τῆς ἑνωτικῆς
ψευδοσυνόδου τῆς Λυῶνος (1275).

